πρᾶγμα ἐκεῖνο νοεῖν. Ὁ δὲ θεῖος νοῦς οὐδενὶ ἑτέρῳ εἴδει νοεῖ ἀλλ' ἢ τῇ θείᾳ οὐσίᾳ, ὡς δέδεικται· ἡ δὲ οὐσία αὐτοῦ τῶν πραγμάτων πάντων ἐστὶν ὁμοιότης· κατὰ τοῦτο τοίνυν ἕπεται, ὅτι ὅπερ ὁ θεῖος νοῦς ἐν ἑαυτῷ συλλαμβάνει καθὸ ἑαυτὸν νοεῖ, ὅπερ ἐστὶν ὁ λόγος αὐτοῦ, οὐ μόνον ἐστὶν ὁμοιότης αὐτοῦ τοῦ νοουμένου Θεοῦ, ἀλλὰ καὶ πάντων ὧν ἐστιν ὁμοιότης ἡ θεία οὐσία· καὶ καθ' ἕνα λογισμὸν νοητόν, ὅς ἐστιν ὁ θεῖος Λόγος, πλείω δύνανται ὑπὸ τοῦ Θεοῦ νοεῖσθαι.

## LIV. — Ὅπως ἡ θεία οὐσία μία καὶ ἁπλῆ οὖσα, ἰδία ὁμοιότης ἐστὶ πάντων τῶν νοητῶν.

Ὁ γὰρ θεῖος νοῦς, ὅπερ ἐστὶν ἴδιον ἑκάστου, ἐν τῇ ἑαυτοῦ οὐσίᾳ δύναται συλλαμβάνειν, ἅμα νοῶν ἐν ᾧ καὶ τῆς ἰδίας τελειότητος ἕκαστον ἀποδεῖ· ὡς λόγου χάριν, νοῶν τὴν ἑαυτοῦ οὐσίαν, ὡς δυναμένην ὁμοίαν
f. 26ᵛ γίνεσθαι κατὰ τὸν τῆς ζωῆς, | ἀλλ' οὐ κατὰ τὸν τῆς γνώσεως τρόπον, λαμβάνει τὸ ἴδιον εἶδος τοῦ φυτοῦ· εἰ δὲ ὡς δυναμένην ὁμοίως γίνεσθαι κατὰ τὸν τρόπον τῆς γνώσεως ἀλλ' οὐ τοῦ νοῦ, τὸ ἴδιον εἶδος λαμβάνει τοῦ ζῴου· οὕτω δὴ καὶ περὶ τῶν ἄλλων. Οὕτω τοίνυν φανερόν, ὡς ἡ θεία οὐσία, καθόσον ἐστὶν ἀπολελυμένως τελεία, ὡς ἴδιος λόγος ἑκάστου λαμβάνεσθαι δύναται· ὅθεν κατὰ ταύτην ὁ Θεὸς ἰδίαν ἔχει περὶ πάντων γνῶσιν. Ἐπεὶ δὲ ὁ τοῦ ἑνὸς ἴδιος λόγος τοῦ τοῦ ἑτέρου ἰδίου λόγου διακρίνεται, ἡ δὲ διάκρισις πλήθους ἐστὶν ἀρχή, ἀνάγκη ἐν τῷ θείῳ νῷ διάκρισίν τινα καὶ πλῆθος τῶν λόγων νοεῖν, καθὸ τὸ ἐν τῷ θείῳ νῷ ὄν, ἴδιος λόγος τῶν διαφόρων ἐστίν. Καταλείπεται τοίνυν μὴ εἶναι πλείους ἢ διακεκριμένους ἐν τῷ θείῳ νῷ τοὺς τῶν πραγμάτων λόγους, εἰ μὴ καθόσον ὁ Θεὸς γινώσκει τὰ πράγματα πλείοσι καὶ διαφόροις τρόποις αὐτῷ ἐξομοιοῦσθαι δυνάμενα· καὶ διὰ τοῦτο φησὶν Αὐγουστῖνος, ὅτι „ἑτέρῳ λόγῳ τὸν ἄνθρωπον πεποίηκεν ὁ Θεός, καὶ ἑτέρῳ τὸν ἵππον“· καὶ τοὺς τῶν ὄντων λόγους, πεπληθυσμένως ἐν τῷ θείῳ νῷ εἶναι φησίν· ἐν ᾧ ἀμηγέπη καὶ ἡ τοῦ Πλάτωνος σῴζεται δόξα περὶ ἰδεῶν, αἷς τὰ ἐν τοῖς ὑλικοῖς ὑφεστῶτα εἰδοποιεῖται.

## LV. — Ὅτι ὁ Θεὸς ὁμοῦ πάντα νοεῖ.

Ἐκ τούτων περαιτέρω φανερόν, ὅτι ὁ Θεὸς ὁμοῦ πάντα νοεῖ· ὁ γὰρ ἀνθρώπινος νοῦς, ὅταν πλείω τινὰ λαμβάνῃ ἡνωμένα κατά τινα τρόπον, ὁμοῦ ταῦτα νοεῖ· ὁμοῦ γὰρ ὅλον τὸ συνεχὲς νοεῖ, καὶ οὐ τὸ μέρος μετὰ τὸ μέρος· καὶ τὴν πρότασιν ὅλην, καὶ οὐ τὸ ὑποκείμενον πρότερον, εἶτα τὸ κατηγορούμενον· καθ' ἓν γὰρ εἶδος τοῦ ὅλου πάντα περιλαμβάνει τὰ μέρη, ὥστε τὰ ἑνὶ εἴδει γινωσκόμενα πολλὰ ὁμοῦ νοεῖσθαι δύνανται· πολλῷ

---

26 S. Augustin, *De diversis quaest.* 83, q. 46

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

δὲ μᾶλλον ὁ Θεὸς ἅπερ γινώσκει, ἑνὶ εἴδει πάντα γινώσκει, ὅπερ ἐστὶν ἡ οὐσία αὐτοῦ· πάντα ἄρα νοεῖν ὁμοῦ δύναται.

Ἔτι, τοῦ μεταβατικῶς πλείω νοοῦντος νοῦ ἀδύνατον μίαν ἐνέργειαν εἶναι· αἱ γὰρ ἐνέργειαι κατὰ τὰ ὑποκείμενα διαφέρουσιν, καὶ διὰ τοῦτο δεῖ ἄλλην εἶναι, ᾗ τὸ πρῶτον νοεῖ, καὶ ἄλλην ᾗ τὸ δεύτερον· τοῦ δὲ θείου νοῦ μία ἐνέργεια, ἥτις ἐστὶν ἡ οὐσία αὐτοῦ· καὶ ὁμοῦ ἄρα πάντα νοεῖ.

Ἔτι, ἡ μετάβασις ἐν χρόνῳ καὶ κινήσει.

Ἔτι, τὸ τόδε μετὰ τόδε νοεῖν ἐστὶ τὸ ποτὲ μὲν δυνάμει, ποτὲ δὲ ἐνεργείᾳ νοεῖν· ἀλλὰ ταῦτα οὐ προσήκει τῷ Θεῷ.

Ταύτῃ τῇ ἀληθείᾳ καὶ ἡ θεία Γραφὴ μαρτυρεῖ· | ἐν γὰρ τῇ Ἰακώβου f. 27
καθολικῇ λέγεται, ὅτι „παρὰ τῷ Θεῷ οὐκ ἔστι παραλλαγή, ἡ τροπῆς ἀποσκίασμα“.

## LVI. — Ὅτι ἡ γνῶσις τοῦ Θεοῦ οὐκ ἔστι καθ' ἕξιν.

Ἐκ τούτου φανερόν, ὅτι ἐν τῷ Θεῷ οὐκ ἔστι γνῶσις καθ' ἕξιν· ἐν οἷς γὰρ τοῦτ' ἔστιν, οὐχ ὁμοῦ πάντα γινώσκουσιν, ἀλλὰ τὰ μὲν ἐνεργείᾳ, τὰ δὲ ἕξει· ὁ δὲ Θεὸς ὁμοῦ πάντα ἐνεργείᾳ νοεῖ.

Ἔτι, ὁ ἔχων τὴν ἕξιν καὶ μὴ θεωρῶν, ἐν δυνάμει πως ἐστίν· ἑτέρως μέντοι ἢ πρὸ τοῦ λαβεῖν τὴν ἕξιν.

Ἔτι, οὐ καθ' ἕξιν μόνον νοῶν οὐκ ἔστιν ἐν τῇ ἐσχάτῃ μόνον αὐτοῦ τελειότητι.

Ἔτι, ἡ ἕξις ποιότης ἐστί· διὸ καὶ ὡς τῆς διαθέσεως, ᾗ τις καθ' ἕξιν μόνην θεωρεῖ ἢ θέλει ἢ πράττει, ὁμοιουμένης τῇ τοῦ ὑπνώττοντος διαθέσει φησὶν ὁ Δαυίδ, ἵνα τὴν ἑκτικὴν διάθεσιν ἀφέληται τοῦ Θεοῦ· „Ἰδοὺ οὐ νυστάξει οὐδὲ ὑπνώσσει ὁ φυλάσσων τὸν Ἰσραήλ“· καὶ ἐν τῷ Ἐκκλησιαστῇ· „Ἰδοὺ οἱ ὀφθαλμοὶ Κυρίου πολλῷ φωτεινότεροι ὑπὲρ τὸν ἥλιον“· καὶ γὰρ ὁ ἥλιος ἀεί ἐστιν ἐν τῷ φωτίζειν ἐνεργείᾳ.

## LVII. — Ὅτι ἡ θεία γνῶσις οὐ μεταβατική.

Ἐκ τούτων φανερόν, ὅτι ἡ θεία γνῶσις οὐκ ἔστι συλλογιστὴ ἢ μεταβατική· ὁ γὰρ Θεὸς οὐ θεωρεῖ ἓν μετ' ἄλλο, ὥσπερ ἐν διαδοχῇ, καθ' ὃν τρόπον ἡμεῖς ἀφ' ἑνὸς γνωσθέντος ἐπ' ἄλλο βαδίζομεν, ὡς ἀπὸ τῶν ἀρχῶν ἐπὶ τὰ συμπεράσματα, ἀλλ' ὁμοῦ πάντα νοεῖ, εἰ καὶ πᾶσαν μετάβασιν καὶ τὸ συλλογίζεσθαι γινώσκει.

Ἔτι, πᾶσα συλλογιστικὴ γνῶσις ἔχει τι δυνάμεως καὶ ἐνεργείας· καὶ γὰρ τὰ συμπεράσματα ἐν ταῖς ἀρχαῖς δυνάμει εἰσίν.

Ἔτι, ἐν τῇ μεταβατικῇ γνώσει ἔστι τι αἰτιατόν· καὶ γὰρ αἱ ἀρχαὶ

---

**11** Iac. 1, 17 **24** Ps. 120, 4 **26** Eccli. 23, 28 **30** *συλλογιστή* sic, sans doute pour *συλλογιστική*

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

τοῦ συμπεράσματος αἰτίαι· ἀλλ' ἐν τῷ Θεῷ οὐδὲν αἰτιατόν, οὔτε δύναμις ὁπωσοῦν τοιαύτη.

Ἔτι, καὶ ἡμῖν τὰ φύσει γινωσκόμενα χωρὶς συλλογισμοῦ εἰσὶ γνωστά· πολλῷ μᾶλλον ἐπὶ Θεοῦ, ὃς οὐσιώδη τὴν γνῶσιν ἔχει, πάντα ἄνευ συλλογισμοῦ γινώσκονται.

Ἔτι, καὶ ἐν ἡμῖν τὸ ὑπερέχον οὐ συλλογισμός ἐστιν, ἀλλὰ νοῦς, ὅς ἐστιν τῶν ἀρχῶν καὶ τῆς ἀποδείξεως αἰτία· τὸ δὲ ἐν ἡμῖν ὑπερέχον κατώτερον τοῦ ἐν τῷ Θεῷ ὄντος.

Καὶ ἡ θεία Γραφὴ „πάντα γυμνὰ καὶ τετραχηλισμένα τοῖς ὀφθαλμοῖς αὐτοῦ" φησὶν εἶναι· ἃ δὲ τῷ συλλογίζεσθαι γινώσκονται, τῷ συλλογισμῷ διανοίγονται καὶ γυμνοῦνται.

## LVIII. — Ὅτι οὐ νοεῖ τῷ συντιθέναι καὶ διαιρεῖν.

Γινώσκει δὲ πάντα τῷ γινώσκειν τὴν ἑαυτοῦ οὐσίαν, ἣν οὐ γινώσκει τῷ συντιθέναι καὶ διαιρεῖν, εἰδὼς ἑαυτὸν καθώς ἐστιν· ἔστι δὲ ἄνευ ἁπάσης συνθέσεως.

f. 27v Ἔτι, ἡ τῆς προτάσεως εἰδοποιηθεῖσα σύνθεσις κατὰ τὸν συντιθέντα καὶ διαιροῦντα νοῦν ἐν τῷ νῷ ὑφίσταται, οὐκ ἐν πράγματι ἐκτὸς ὄντι τῆς ψυχῆς· ἀλλὰ τὸν θεῖον νοῦν ἀδύνατον σύνθετον εἶναι.

Ἔτι, ὁ συντιθεὶς καὶ διαιρῶν νοῦς διαφόροις συνθέσεσι τὰ διάφορα κρίνει· ἡ δὲ σύνθεσις καὶ διαίρεσις ἐνέργειά τις ἐστὶ τοῦ νοῦ· ἀλλὰ τὸ νοεῖν τοῦ Θεοῦ οὐκ ἔστι πολλαπλοῦν, ἀλλ' ἕν, καὶ ἡ νοητικὴ ἐνέργεια μία, ὡς καὶ ἡ οὐσία.

Οὐ διὰ τοῦτο δὲ ἀνάγκη λέγειν, ὅτι τὰ ἀποφαντικὰ οὐ γινώσκει· ἡ γὰρ οὐσία αὐτοῦ, μία οὖσα καὶ ἁπλῆ, παράδειγμά ἐστι πάντων τῶν πολλαπλῶν καὶ συνθέτων· καὶ οὕτω δι' αὐτῆς πᾶν πλῆθος καὶ σύνθεσιν τῆς φύσεως καὶ τοῦ λόγου γινώσκει.

Τούτοις δὲ καὶ ἡ Γραφὴ συνᾴδει· ἐν γὰρ τῷ Ἡσαΐᾳ λέγεται· „Οὐ γὰρ ὥσπερ αἱ βουλαί μου, οὕτως αἱ βουλαὶ ὑμῶν"· καὶ ἐν ψαλμοῖς· „Κύριος γινώσκει τοὺς διαλογισμοὺς τῶν ἀνθρώπων, ὅτι εἰσὶ μάταιοι"· οὓς συμβαίνει κατὰ σύνθεσιν καὶ διαίρεσιν τοῦ νοῦ προχωρεῖν. Καὶ ὁ Διονύσιος· „Ἡ θεία σοφία, φησίν, γινώσκουσα ἑαυτήν, πάντα γινώσκει, καὶ τὰ ὑλικὰ ἀΰλως, καὶ τὰ μεριστὰ ἀμερῶς".

## LIX. — Ὅτι οὐκ ἀποκλείεται τοῦ Θεοῦ ἡ ἀλήθεια τῶν ἀποφαντικῶν προτάσεων.

Ὁ γὰρ Θεὸς τῇ ἑαυτοῦ ἁπλουστάτῃ νοήσει, ἐν ᾗ οὐκ ἔστι σύνθεσις καὶ διαίρεσις, οὐ μόνον τὰς οὐσίας τῶν πραγμάτων γινώσκει, ἀλλὰ καὶ

---

9 cf. Hebr. 4, 13  28 Is. 55, 8  30 Ps. 93, 11  32 Denys, *De divinis nom.* c. VII

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

τὰς ἀποφάνσεις οὕτως, ὥστε ὅπερ ὁ θεῖος νοῦς φησι τῷ νοεῖν, εἶναι σύνθεσιν καὶ διαίρεσιν, εἰ καὶ μὴ γινώσκει αὐτό, συντιθεὶς τε καὶ διαιρῶν· οὕτως οὖν οὐκ ἀποκλείεται τοῦ Θεοῦ ἡ ἀλήθεια, ἥτις κατὰ τὸν Φιλόσοφον περὶ τὴν τοῦ νοῦ σύνθεσιν ἐστὶ καὶ διαίρεσιν.

Ἔτι, ἡ θεία ἁπλότης οὐκ ἐκβάλλει τὴν αὐτοῦ τελειότητα· ἐν γὰρ τῷ ἁπλουστάτῳ εἶναι αὐτοῦ, ἔχει εἴ τι τελειότητος ἐν τοῖς ἄλλοις εὑρίσκεται κατά τινα ἀθροισμὸν τῶν τελειοτήτων ἢ τῶν εἰδῶν· ὁ δὲ ἡμέτερος νοῦς, ἀτελὴς ὢν ἔτι, ἐν τῷ τὰ ἀσύμπλεκτα περιλαμβάνειν τελειοῦται τῷ συντιθέναι αὐτὰ καὶ διαιρεῖν αὐτά, καὶ τότε τὴν ἀλήθειαν οἶδεν. Οὐκοῦν καὶ ὁ Θεὸς ταύτην ἔχει τὴν τελειότητα, ἐν ἁπλῇ μέντοι νοήσει καὶ τῷ Θεῷ πρεπούσῃ. Ἐκ τούτου ἐστὶ τὸ ἐν ψαλμοῖς, ὅτι „ὁ Θεὸς ἡμῶν ἀληθής“, ἀλήθειαν ἔχων, ἥ ἐστιν ἀγαθὸν τοῦ νοῦ κατὰ τὸν Φιλόσοφον.

## LX. — Ὅτι ὁ Θεός ἐστιν ἡ ἀλήθεια αὐτοῦ.

Ἡ γὰρ ἀλήθεια τελειότης ἐστὶ τῆς νοήσεως· τὸ δὲ νοεῖν τοῦ Θεοῦ, ταὐτὸν ὂν τῷ εἶναι αὐτοῦ, τέλειόν ἐστιν, ἀλλ᾽ οὐκ ἐπεισιούσης τινὸς τελειότητος, καθ᾽ ἑαυτὸ δὲ τέλειον· ἡ ἄρα | θεία οὐσία ἐστὶν αὐτὴ ἡ ἀλήθεια. f. 28

Ἔτι, ἡ ἀλήθεια ἀγαθόν ἐστι τοῦ νοῦ· ὁ δὲ Θεός ἐστιν ἡ ἀγαθότης αὐτοῦ· καὶ ἡ ἀλήθεια ἄρα αὐτοῦ.

Ἔτι, οὐδὲν ἐν τῷ Θεῷ κατὰ μετοχήν ἐστιν, ἀλλ᾽ οὐσιωδῶς, ὥς τε καὶ ἡ ἀλήθεια· εἴτε τοίνυν περὶ τῆς τοῦ νοῦ ἀληθείας, εἴτε περὶ τῆς ἀληθείας τοῦ πράγματος λέγοιμεν, ὁ Θεός ἐστιν ἡ ἀλήθεια αὐτοῦ.

Τοῦτο δὲ βεβαιοῦται καὶ ἐν τῷ κατὰ Ἰωάννην, τοῦ Κυρίου λέγοντος· „Ἐγώ εἰμι ἡ ὁδὸς καὶ ἡ ἀλήθεια καὶ ἡ ζωή“.

## LXI. — Ὅτι καθαρωτάτη ἐστὶν ἀλήθεια.

Ἡ γὰρ ἀλήθεια τὸ ψεῦδος οὐ πάσχει, ὡς οὐδὲ ἡ λευκότης τὴν μελανίαν.

Ἔτι, ὁ νοῦς οὐκ ἀπατᾶται ἐν τῷ γινώσκειν τὸ τί ἐστιν, ὥσπερ οὐδ᾽ ἡ αἴσθησις ἐν τῷ ἰδίῳ αἰσθητῷ· ἀλλ᾽ οὐδ᾽ ἐν ταῖς πρώταις ἀρχαῖς πλανᾶται· ἐν δὲ τοῖς συμπεράσμασιν ἐνίοτε, εἰς ἃ συλλογιζόμενος ἐκ τῶν ἀρχῶν πρόεισιν· ὁ δὲ θεῖος νοῦς πάντα γινώσκει τῷ τρόπῳ τοῦ γινώσκοντος νοῦ τὸ τί ἐστι· καὶ οὐδὲ συλλογιζόμενος ἢ μεταβαίνων.

Ἔτι, ἡ ἀνθρωπίνη γνῶσις αἴτιον ἔχει πως τὰ πράγματα· ὁ θεῖος δὲ νοῦς τῇ ἑαυτοῦ γνώσει τῶν πραγμάτων ἐστὶν αἴτιος, ὥστε εἶναι τὴν τοῦ θείου νοῦ πρὸς τὰ πράγματα παράθεσιν, οἵα τῶν πραγμάτων πρὸς τὸν ἀνθρώπινον νοῦν· τὸ δὲ ψεῦδος αἴτιον ἔχει τὴν ἀνισότητα τοῦ ἀνθρωπίνου νοῦ καὶ τοῦ πράγματος, ἥτις οὐκ ἔστιν ἐν τοῖς πράγμασιν ἀλλ᾽ ἐν τῷ νῷ.

---

**11 Rom. 3, 4 cf. Ps. 85, 15 24 Ioh. 14, 6**

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

Εἰ τοίνυν οὐκ ἦν ἐξίσωσις παντοία τοῦ θείου νοῦ πρὸς τὰ πράγματα, τὸ ψεῦδος ἐν τοῖς πράγμασιν ἂν ἦν, οὐκ ἐν τῷ νῷ. Ἀλλ' ἐν τοῖς πράγμασιν οὐκ ἔστιν· ἕκαστον γὰρ τοσοῦτον ἔχει τῆς ἀληθείας ὅσον δὴ καὶ τοῦ εἶναι· οὐδεμία τοίνυν ἀνισότης ἐστὶ μεταξὺ τοῦ θείου νοῦ καὶ τῶν πραγμάτων· ὥστε οὐδὲ ψεῦδος ἐν τῷ θείῳ νῷ καὶ ἀπάτη.

Ἔτι, ἐν τῷ Θεῷ ἐδείχθη μὴ δύνασθαι εἶναι κακόν· τὸ δὲ ψεῦδος κακὸν τοῦ νοῦ, ὥσπερ τὸ ἀληθὲς ἀγαθόν. Ἐντεῦθέν ἐστι τὸ ἐν τῇ πρὸς Ῥωμαίους· ὅτι „ὁ Θεὸς ἀληθής ἐστιν“· καὶ ἐν τοῖς Ἀριθμοῖς· „Οὐκ ἔστιν ὁ Θεὸς ὡς ἄνθρωπος ὥστε ψεύδεσθαι“· καὶ ἐν τῇ Ἰωάννου πρώτῃ· „Ὁ Θεὸς φῶς ἐστιν· καὶ σκοτεία οὐκ ἔστιν ἐν αὐτῷ οὐδεμία“.

## LXII. — Ὅτι ἡ θεία ἀλήθεια πρώτη καὶ ἐσχάτη ἐστίν.

Εἰ γὰρ τὸ θεῖον εἶναι πρῶτον καὶ τελειότατον, καὶ ἡ ἐν αὐτῷ ἀλήθεια πρώτη καὶ ἄκρα.

Ἔτι, τὸ κατ' οὐσίαν ἔν τινι τελειότατα ἐστὶν ἐν αὐτῷ· ἀλλὰ τῷ Θεῷ ἡ ἀλήθεια οὐσιωδῶς ἀποδίδοται.

Ἔτι, τὸ μέτρον ἐν ἑκάστῳ γένει τελειότατόν ἐστιν ἐν τῷ γένει· ἡ δὲ
f. 28ᵛ θεία ἀλήθεια μέτρον πάσης ἀληθείας ἐστίν· ὡς γὰρ ἡ ἀλήθεια | τοῦ ἀνθρωπίνου νοῦ μετρεῖται τοῖς πράγμασιν τοῖς ἐκτός, καὶ ἀληθὴς ὁ νοῦς ἡμῶν λέγεται εἰ συνᾴδοι τοῖς πράγμασιν, οὕτως ἡ τῶν πραγμάτων ἀλήθεια τῷ θείῳ μετρεῖται νῷ, ὅς ἐστιν αἰτία αὐτῶν· ὥσπερ ἡ τῶν τεχνητῶν ἀλήθεια, ὑπὸ τῆς τέχνης τοῦ πεποιηκότος· ἀληθὲς γὰρ τὸ κιβώτιον, ὅταν συνᾴδῃ τῇ τέχνῃ. Ἐπεὶ οὖν ὁ Θεὸς πρῶτός ἐστι νοῦς καὶ πρῶτον νοητόν, ἀνάγκη τὴν ἀλήθειαν ἑκάστου νοῦ τῇ ἀληθείᾳ ἐκείνου μετρεῖσθαι, εἴπερ ἕκαστον τῷ πρώτῳ τοῦ ἰδίου γένους μετρεῖται· ἡ θεία τοίνυν ἀλήθειά ἐστι πρώτη καὶ ἄκρα καὶ τελεωτάτη ἀλήθεια.

## LXIII. — Λόγοι τῶν βουλομένων ἐκβάλλειν τοῦ Θεοῦ τὴν γνῶσιν τῶν μερικῶν.

Πᾶσα γνῶσις διά τινος ὁμοιότητος γίνεται· ὁ δὲ νοῦς ἄϋλος ὢν τὰ μερικὰ οὐ γινώσκει· ὁ δὲ θεῖος νοῦς, μάλιστα τῆς ὕλης ἀποχωρεῖ.

Ἔτι, τὰ μερικά, οὐκ ὄντα ἀεί, ἢ ἀεὶ γνωσθήσονται τῷ Θεῷ, καὶ ἔσται τοῦ μὴ ὄντος ἐπιστήμη, ἥτις μόνον τῶν ἀληθῶν εἶναι δύναται, τὰ δὲ μὴ ὄντα, οὐδ' ἀληθῆ· ἢ ποτὲ μὲν γνωσθήσονται, ποτὲ δὲ οὐ γνωσθήσονται· ἀλλ' ἡ θεία γνῶσις ἀμετάβλητος.

Ἔτι, οὐ πάντα τὰ μερικὰ ἐξ ἀνάγκης προέρχονται· ἀλλ' ἔνια συμβεβηκότως, περὶ ὧν βεβαία γνῶσις εἶναι οὐ δύναται, εἰ μὴ ὅταν ᾖ· ὅθεν καὶ περὶ τῶν μελλόντων συμβεβηκότων, ἐπιστήμην ἐν ἡμῖν εἶναι ἀδύνατον,

8 Rom. 3, 2 Num. 23, 19 9 I Ioh. 1, 5

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

ἀλλὰ στοχαστικὴν μόνον ὑπόληψιν· ἀλλ' ἡ θεία γνῶσις βεβαιοτάτη καὶ ἀψευδής.

Ἔτι, τινῶν μερικῶν ἡ θέλησις αἴτιόν ἐστιν· αἱ δὲ τῆς θελήσεως κινήσεις ὑπὸ τοῦ θέλοντος μόνου γινώσκονται, οὐ ἐν τῇ ἐξουσίᾳ εἰσίν· καὶ διὰ τοῦτο οὐχ οἷόν τε περὶ τῶν τοιούτων μερικῶν γνῶσιν ἔχειν βεβαίαν· ἡ δὲ θεία γνῶσις βεβαία.

Ἔτι, τὰ μερικὰ ἄπειρα, τοὐλάχιστον ἐν δυνάμει· τὸ δὲ ἄπειρον, ᾗ τοιοῦτον, ἄγνωστόν ἐστιν.

Ἔτι, ὥσπερ τὸ τῆς ἐπιστήμης τίμιον ἐκ τῆς ἀξίας τοῦ ἐπιστητοῦ πως λαμβάνεται, οὕτως ἡ φαυλότης τοῦ ἐπιστητοῦ εἰς τὴν τῆς ἐπιστήμης ἀνακάμπτει φαυλότητα· ὁ δὲ θεῖος νοῦς τιμιώτατος· οὐκ ἄρα ἡ ἀξία αὐτοῦ πείσεται τὸ τὰ φαυλότατα γινώσκειν τῶν μερικῶν.

Ἔτι, τὸ γνωστὸν ἔστι πως ἐν τῷ γινώσκοντι· κακὸν δὲ ἐν τῷ Θεῷ εἶναι οὐ δύναται· ἐν δὲ τοῖς μερικοῖς τὸ κακὸν εὑρίσκεται καὶ ἡ στέρησις· οὐκ ἄρα ἔχει ὁ Θεὸς γνῶσιν τῶν μερικῶν.

## LXIV. — Τάξις τῶν λεχθησομένων περὶ τῆς θείας γνώσεως.

Ἵνα τοίνυν ἐξωσθῇ ἡ πλάνη αὕτη, ἐξωσθέντων τῶν ἐναντίων τῇ ἀληθείᾳ κινητικῶν | αὐτῆς, δείξομεν πρῶτον, ὅτι ὁ θεῖος νοῦς γινώσκει τὰ f. 29
μερικά· δεύτερον, ὅτι καὶ τὰ μὴ ὄντα ἐνεργείᾳ· τρίτον, ὅτι καὶ τὰ μέλλοντα συμβεβηκότα, ἀψευδεῖ γνώσει· τέταρτον, ὅτι τὰς τῆς θελήσεως κινήσεις· πέμπτον, ὅτι τὰ ἄπειρα· ἕκτον, ὅτι τινὰ φαῦλα καὶ τῇ γνώσει ἐλάχιστα· ἕβδομον, ὅτι γινώσκει τὰ κακὰ καὶ τὰς στερήσεις πάσας καὶ ἐνδείας.

## LXV. — Ὅτι ὁ Θεὸς γινώσκει τὰ καθέκαστα.

Γινώσκει γὰρ ὁ Θεὸς τὰ πράγματα καθόσον εἰσὶν ἀποτελέσματα αὐτοῦ· τοιαῦτα δέ εἰσι τὰ καθέκαστα· τὰ γὰρ καθόλου ἐν αὐτοῖς εἰσίν, οὐ καθ' αὑτὰ ὑφεστῶτα.

Ἔτι, ὁ Θεὸς πρώτη καὶ καθόλου τοῦ εἶναι ἀρχή· ἡ ὕλη δέ, ὄν ἐστιν ἐν δυνάμει, καὶ τὸ συμβεβηκὸς ὂν ἐν ἄλλῳ· ἐξ ὧν δὴ καὶ τῶν εἰδῶν τὸ ἄτομον συνίσταται, καὶ τῶν ἀρχῶν γινωσκομένων, τὸ ἐξ αὐτῶν γινώσκεται· ἡ γνῶσις ἄρα τῶν καθέκαστα, οὐκ ἄπεστι τοῦ Θεοῦ.

Ἔτι, ὁ Θεὸς τῷ γινώσκειν τὴν αὑτοῦ οὐσίαν τελείως, γινώσκει τὴν κοινὴν φύσιν τοῦ ὄντος· τὸ δὲ καθόλου καὶ μερικὸν διαφοραί εἰσιν ἢ πάθη τοῦ ὄντος καθ' αὑτά. Ἀλλ' ὥσπερ τὸ καθόλου γινώσκει, οὐ γινώσκων μόνον τὸν τῆς ὁλότητος λόγον ἀλλὰ καὶ αὐτὸ τὸ καθόλου πρᾶγμα, οἷον ζῷον ἢ ἄνθρωπον, οὕτως οὐ μόνον τὸν τῆς μερικότητος λόγον γινώσκει, ἀλλὰ καὶ τὸ μερικὸν αὐτὸ τόδε ἢ ἐκεῖνο.

Ἔτι, ὁ θεῖος νοῦς οὐκ ἐκ τῶν πραγμάτων τὴν γνῶσιν λαμβάνει, ὡς

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ὁ ἡμέτερος, ἀλλὰ τῇ ἑαυτοῦ γνώσει μᾶλλον αἴτιός ἐστι τῶν πραγμάτων· καὶ οὕτως ἡ γνῶσις αὐτοῦ ἡ περὶ αὐτῶν κατὰ τὸν τρόπον τῆς πρακτικῆς γνώσεως ἐστίν, ἧς ἡ τελειότης, τὸ πρὸς τὰ μερικὰ φθάνειν· τέλος γὰρ αὐτῆς ἡ ἐνέργεια, ἥ ἐστιν ἐν τοῖς μερικοῖς· ἡ θεία ἄρα γνῶσις ἣν περὶ τῶν ἄλλων ἔχει πραγμάτων ἐκτείνεται μέχρι τῶν καθέκαστα.

Τοῦτο δὲ καὶ τῇ θείᾳ Γραφῇ βεβαιοῦται· λέγεται γὰρ ἐν τῇ πρὸς Ἑβραίους· „Οὐκ ἔστιν οὐδεμία κτίσις ἀφανὴς ἐνώπιον αὐτοῦ“· καὶ ἐν τῷ Ἐκκλησιαστῇ· „Μὴ εἴπῃς· κρυβήσομαι ἀπὸ τοῦ Θεοῦ καὶ ἀπὸ τοῦ Ὑψίστου τίς ἐμοῦ μνησθήσεται“; Φανερὸν δὲ καὶ ὅπως ἡ εἰς τοὐναντίον γενομένη ἀπαγωγὴ οὐ συμπεραίνει καλῶς· ᾧ γὰρ ὁ θεῖος νοῦς νοεῖ, εἰ καὶ ἄϋλόν ἐστιν, ὅμως ὁμοιότης τοῦ εἴδους καὶ τῆς ὕλης ἐστίν, ὡς πρώτη παρακτικὴ ἀρχὴ ἑκατέρου.

## LXVI. — Ὅτι γινώσκει τὰ μὴ ὄντα.

Ἡ αὐτὴ γὰρ παράθεσίς ἐστι τῆς θείας σοφίας πρὸς τὰ γινωσκόμενα πράγματα, ἥτις ἐστὶ τῶν γινωσκομένων πρὸς τὴν ἡμετέραν γνῶσιν· ἀλλὰ τὸ ἐπιστητὸν δύναται εἶναι ἄνευ τοῦ ἔχειν ἡμᾶς περὶ αὐτοῦ ἐπιστήμην,
f. 29v ὡς περὶ τοῦ τετραγωνισμοῦ | τοῦ κύκλου φησὶν ὁ Φιλόσοφος ἐν Κατηγορίαις· ἔστιν ἄρα καὶ ἡ θεία ἐπιστήμη περὶ τῶν πραγμάτων καὶ τῶν μὴ ὄντων.

Ἔτι, ἡ γνῶσις ἡ θεία περὶ τῶν πραγμάτων ἔοικε τῇ τοῦ τεχνίτου περὶ τῶν τεχνητῶν, ᾗ οἶδε καὶ τὰ μήπω τεχνησθέντα· τὰ γὰρ εἴδη τῶν τεχνητῶν ἐκ τῆς ἐν τῇ ψυχῇ ἐπιστήμης αὐτοῦ, εἰς τὴν ἐξωτερικὴν ὕλην προχέονται καὶ τὴν κατασκευὴν τῶν τεχνητῶν· διὸ εἰσὶν ἐν τῇ ἐπιστήμῃ τοῦ τεχνίτου εἴδη μήπω ἔξω προεληλυθότα.

Ἔτι, ὁ ἡμέτερος νοῦς κατ' ἐκείνην τὴν δύναμιν ᾗ τὸ τί εἶναι ἤγουν τὸ τί ἐστι γινώσκει, δύναται γνῶσιν ἔχειν καὶ τῶν ἐνεργείᾳ μὴ ὄντων· δύναται γὰρ ἵππου ἢ λέοντος περιλαμβάνειν οὐσίαν, τῶν τοιούτων ζῴων πάντων ἀναιρηθέντων. Ὁ δὲ θεῖος νοῦς γινώσκει κατὰ τὸν τρόπον τοῦ γινώσκοντος τί ἐστιν, οὐ μόνον τοὺς ὁρισμούς, ἀλλὰ καὶ τὰ ἀποφαντικά· γινώσκει ἄρα καὶ τὰ μὴ ὄντα.

Ἔτι, ἀποτέλεσμά τι ἐν τῇ ἰδίᾳ αἰτίᾳ προγινώσκεσθαι δύναται καὶ πρὸ τοῦ εἶναι· ἡ δὲ περὶ τῶν πραγμάτων τοῦ Θεοῦ γνῶσις κατ' αἰτίαν ἐστίν.

Ἔτι, τὸ νοεῖν τοῦ Θεοῦ οὐκ ἔχει διαδοχήν, ὥσπερ οὐδὲ τὸ εἶναι αὐτοῦ· ἔστιν ἄρα ὅλον ὁμοῦ διαμένον· ὅπερ κατὰ τὸν λόγον ἐστὶ τῆς ἀϊδιότητος· καὶ οὕτως ὅπερ ἂν κατὰ πάντα τὸν τοῦ χρόνου δρόμον ἐνεργῆται, ὁ

---

**7 Hebr. 4, 13 8 Eccli. 16, 15 22** *τεχνησθέντα* **sic pour** *τεχνηθέντα* **ou** *τεχνασθέντα,* **à moins qu'il ne faille supposer un verbe** *τεχνίζω*

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

θεῖος νοῦς ἐν ὅλῃ τῇ αὐτοῦ ἀϊδιότητι ὡς παρὸν γινώσκει· οὐ μέντοι διὰ τοῦτο ὅ ἔν τινι τοῦ χρόνου γίνεται μέρει ἀεὶ ἦν ὑφεστώς· οὕτως οὖν καὶ τῶν μήπω ὄντων κατὰ τὸν δρόμον ὅλον τοῦ χρόνου ὁ Θεὸς ἔχει τὴν γνῶσιν. Οὐ μέντοι πάντα τὰ μὴ ὄντα πρὸς τὴν θείαν γνῶσιν τὴν αὐτὴν ἔχει σχέσιν· τὰ γὰρ μήτε ὄντα μήτε γεγονότα μήτε ἐσόμενα οἶδεν ὁ Θεὸς ὡς δυνατὰ τῇ αὐτοῦ δυνάμει, οὐχ ὡς ὄντα ἁμηγέπη ἐν ἑαυτοῖς, καὶ ὥς ἔνιοι λέγουσιν, οἶδε ταῦτα γνώσει νοήσεως ἁπλῆς· τὰ δὲ ὄντα ἐν ὁτῳοῦν χρόνῳ τῶν τριῶν καὶ καθὸ εἰσιν ἐν τῇ ἑαυτοῦ δυνάμει γινώσκει, καὶ ὡς εἰσὶν ἐν τοῖς ἰδίοις αἰτίοις, καὶ ἐν ἑαυτοῖς, ἣν ἔνιοι καλοῦσιν ὄψεως γνῶσιν. Τούτῳ καὶ ἡ Γραφὴ μαρτυρεῖ· ἐν γὰρ τῷ Ἐκκλησιαστῇ λέγεται· „Κυρίῳ τῷ Θεῷ ἡμῶν πρὸ τοῦ κτισθῆναι πάντα εἰσὶν ἐγνωσμένα, ὥσπερ καὶ μετὰ τὸ γενέσθαι πάντα γινώσκει“. Καὶ ἐν τῷ Ἱερεμίᾳ· „πρὸ τοῦ πλασθῆναι, ἐν τῇ κοιλίᾳ ἔγνωκά σε“. Οὐκ ἄρα, ὥς τινες εἶπον, ὁ Θεὸς καθόλου μόνον ἐπίσταται τὰ μερικά, ἐν ταῖς αἰτίαις αὐτῶν δηλαδὴ ταῖς καθόλου, ὡς ὁ γινώσκων τήνδε τὴν ἔκλειψιν οὐ καθ' ἑαυτήν, ἀλλ' ὅτι πρόεισιν ἐκ τῆς ἀντιθέσεως· ἡ γὰρ θεία γνῶσις ἐκτείνει ἑαυτὴν καὶ ἐπὶ τὰ καθέκαστα, καθόσον εἰσὶν ἐν ἑαυτοῖς.

### LXVII. — Ὅτι γινώσκει τὰ καθέκαστα καὶ μέλλοντα συμβεβηκότα. f. 30

Τὸ γὰρ συμβεβηκός, καθὸ ἐστιν ἐνεστώς, βεβαίως γινώσκεται, καὶ οὐ προσίσταται τὸ εἶναι αὐτὸ συμβεβηκός· ἀλλ' ὁπόταν μόνον ὡς μέλλων γινώσκεται, δύναται ἡ περὶ αὐτοῦ γνῶσις σφαλῆναι· ἡ δὲ τοῦ θείου νοῦ γνῶσις ἐξ ἀϊδίου φέρεται ἐφ' ἕκαστον τῶν γινομένων ἐν τῷ τοῦ χρόνου δρόμῳ, ὡς ἐνεστώς, καὶ οὐ μόνον κατὰ τὸ εἶναι ὃ ἔχει ἐν ταῖς ἰδίαις ἕκαστον, ἀλλὰ καὶ κατὰ τὸ εἶναι ὃ ἔχει ἐν ἑαυτῷ.

Ἔτι, ὁ Θεὸς οὐ μόνον τὰς τῶν συμβεβηκότων αἰτίας οἶδεν ἀλλὰ κἀκεῖνα οἷς κωλυθῆναι δύναται· γινώσκει τοίνυν βεβαίως πότερον εἰσὶ τάδε τὰ συμβεβηκότα, ἢ οὐκ εἰσίν.

Ἔτι, ὁ Θεὸς οὐ μόνον οἶδε τινὰ ἀποβῆναι ἢ ἀποβήσεσθαι, ἀλλ' ὅτι καὶ ἀναγκαίως ἢ ἐνδεχομένως καὶ συμβεβηκότως· καὶ οὕτως ἡ ἀλήθεια καὶ τὸ ἀπαρέγκλιτον τῆς θείας σοφίας οὐκ ἀφαιρεῖ τὸ συμβεβηκὸς τῶν πραγμάτων· δεῖ γὰρ αὐτὰ γίνεσθαι ὡς ὁ Θεὸς γινώσκει ἀποβησόμενα.

Τοῦτο δὲ καὶ τῇ Γραφῇ βεβαιοῦται. Ἐν γὰρ τῇ Σοφίᾳ λέγεται περὶ τῆς σοφίας, ὅτι „σημεῖα προγινώσκει καὶ ἀποβάσεις καιρῶν καὶ χρόνων“. Καὶ ἐν τῷ Ἐκκλησιαστῇ· „Οὐκ ἔστι τι κεκρυμμένον ἀπὸ τῶν ὀφθαλμῶν αὐτοῦ· ἀπὸ τοῦ αἰῶνος καὶ εἰς τὸν αἰῶνα, πάντα“ ἐπιβλέπει. Καὶ ἐν τῷ Ἡσαΐᾳ· „Προεῖπόν σοι ἀποτότε, καὶ πρὸ τοῦ ἐλθεῖν ἀνήγγειλά σοι“.

10 Eccli. (non l'Ecclésiaste) 23, 29  12 Ier. 1, 5  35 Sap. 8, 8  36 Eccli. 39, 24-25  38 Is. 48, 5

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

## LXVIII. — Ὅτι ὁ Θεὸς γινώσκει τὰς τῆς θελήσεως κινήσεις καὶ τοὺς λογισμοὺς τῶν διανοιῶν.

Πᾶν γὰρ τὸ κατά τινα τρόπον ὂν ὑπὸ τοῦ Θεοῦ γινώσκεται· τὸ δὲ ἐν τῇ θελήσει ἢ τῷ διαλογισμῷ ὄν, ἐν τῇ ψυχῇ ἐστίν, ὥσπερ εἰσὶν ἄλλα ἐν τοῖς ἔξω τῆς ψυχῆς πράγμασιν.

Ἔτι, ὁ Θεὸς πάντα γινώσκει ἐφ' ἃ τὸ αἰτιατικὸν αὐτοῦ ἐξαπλοῦται· ἐξήπλωται δὲ καὶ ἐπὶ τὰς ἐνεργείας τοῦ νοῦ καὶ τῆς θελήσεως.

Ἔτι, ὥσπερ τῷ γινώσκειν τὸ ἑαυτοῦ εἶναι ἑκάστου γινώσκει τὸ εἶναι, ὅτι παντὸς εἶναι τὸ αὐτοῦ πρῶτόν ἐστι καὶ ἀρχή, οὕτω τῷ γινώσκειν τὸ νοεῖν καὶ τὸ θέλειν αὐτοῦ γινώσκει πᾶσαν γνῶσιν καὶ θέλησιν.

Τοῦτο δὲ καὶ τῇ Γραφῇ βεβαιοῦται. Ἐν γὰρ ψαλμοῖς λέγεται· „Ἐρευνῶν καρδίας καὶ νεφροὺς ὁ Θεός“· καὶ ἐν τῷ κατὰ Ἰωάννην· „Χρεία γὰρ αὐτῷ οὐκ ἦν, ἵνα τις μαρτυρήσει περὶ τοῦ ἀνθρώπου· αὐτὸς γὰρ ἐγίνωσκε τί ἦν ἐν τῷ ἀνθρώπῳ“. Ἡ ἀρχὴ δὲ ἣν ἐπὶ τὰς ἰδίας ἐνεργείας ἡ θέλησις ἔχει, δι' ἣν ἐν τῇ αὐτῆς ἐστι δυνάμει θέλειν καὶ μὴ θέλειν, ἐλαύνει τὸν περὶ ἕν τι τῆς δυνάμεως ὅρον καὶ τὴν βίαν τῆς ἔξωθεν αἰτίας, οὐ μέντοι τὴν ἐπίρροιαν τῆς ὑπερκειμένης αἰτίας, ἀφ' ἧς ἐστιν αὐτῇ τὸ εἶναι καὶ ἐνεργεῖν· καὶ οὕτως τὸ αἰτιατικὸν ἐν τῇ πρώτῃ αἰτίᾳ
f. 30v τῷ Θεῷ μένει, | καὶ τῇ παραθέσει τῶν τῆς θελήσεως κινήσεων, ἵν' οὕτως ὁ Θεὸς τῷ γινώσκειν ἑαυτὸν καὶ τὰ τοιαῦτα γινώσκειν δύνηται.

## LXIX. — Ὅτι γινώσκει τὰ ἄπειρα.

Τῷ γὰρ γινώσκειν ἑαυτὸν τῶν ὄντων αἰτίαν ὄντα τὰ ἄλλα γινώσκει· τὰ δὲ ἄπειρα ὄντα εἰσί, καὶ αὐτὸν ἔχουσιν αἴτιον.

Ἔτι, ἡ δύναμις αὐτοῦ ἄπειρος οὖσα, εἰς ἄπειρα ἑαυτὴν ἐκτείνει· ὁ δὲ Θεὸς τελείως τὴν αὐτοῦ γινώσκει δύναμιν, ὥστε καὶ πάντα ἐν οἷς αὕτη δύναται.

Ἔτι, ὡς τῷ πεπερασμένῳ νοεῖν ἡμῶν τὰ πεπερασμένα δεχόμεθα, καὶ ὁ Θεὸς τῷ ἀπείρῳ νοεῖν αὐτοῦ τὰ ἄπειρα χωρῆσαι δυνήσεται. Ἔστι δὲ τὸ νοεῖν αὐτοῦ ἄπειρον, ὡς καὶ τὸ εἶναι.

Ἔτι, ὡς τὸ πλῆθος οὐδεμίαν διαφορὰν ἐν τῇ θείᾳ γνώσει ποιεῖ, ἐπεὶ οὐ διαφόροις εἴδεσι τὰ πολλὰ ἐκεῖ, ἀλλ' ἑνὶ εἴδει ὅ ἐστιν ἡ οὐσία αὐτοῦ γινώσκονται· διὸ καὶ πλείω ὁμοῦ τῷ Θεῷ γινώσκονται, οὕτως οὐδὲ τὸ ἄπειρον. Οὐδὲν τοίνυν πρὸς τὸν θεῖον νοῦν διαφέρει, πεπερασμένα ἢ ἄπειρα νοεῖν. Τούτῳ συνᾴδει τὸ ἐν ψαλμοῖς· „Καὶ τῆς συνέσεως αὐτοῦ, οὐκ ἔστιν ἀριθμός“. Ὅτι δὲ τὸ ἄπειρον ᾗ ἄπειρον ἄγνωστον, ἀληθές ἐστιν, εἰ τῇ μετρήσει τῶν οἰκείων μερῶν γνωστόν ἐστιν· αὕτη γὰρ τῆς ποσότητος γνῶσις ἰδία, ᾗ ἐφαρμόζει ὁ τοῦ ἀπείρου λόγος. Ὁ δὲ Θεὸς οὐχ οὕτω

---

12 Ps. 7, 10 13 Ioh. 2, 25 35 Ps. 146, 5

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

γινώσκει· ὥστε οὐδὲ κυρίως ᾗ ἐστιν ἄπειρον, ἀλλ' ὡς οὕτως ἔχον πρὸς τὴν θείαν ἐπιστήμην, ὥσπερ ἂν εἰ πεπερασμένον ἦν.

Ἰστέον δέ, ὅτι τὰ μὲν πεπερασμένα γινώσκει ἐπιστήμῃ θεωρίας, τὰ δὲ ἄπειρα, γνώσει ἁπλῆς νοήσεως, ᾗ γινώσκει καὶ τὰ μὴ ὄντα· γινώσκει γὰρ ταύτῃ τά τε ἐν τῇ δυνάμει τῆς κτίσεως ἄπειρα καὶ τὰ ἐν τῇ ἰδίᾳ δυνάμει.

## LXX. — Ὅτι γινώσκει τὰ φαῦλα.

Ἀπείρου γὰρ δυνάμεως ὢν ἐν τῷ νοεῖν, ὥσπερ καὶ ἐν τῷ ποιεῖν, μέχρι καὶ πορρώτατα τὴν γνῶσιν ἐκτείνει, καὶ πᾶσι τοῖς βαθμοῖς τῆς τιμιότητος καὶ φαυλότητος ἐπεξέρχεται.

Ἔτι, ἕκαστον ἐν ἑαυτῷ θεωρούμενον τίμιόν ἐστιν. Εἰ γάρ ἐστί τι, καὶ ἐνεργείᾳ ἐστί, τῆς πρώτης ἐνεργείας ὁμοίωμά ἐστι· κἀντεῦθεν ἔχει τὸ τίμιον. Καὶ τὸ δυνάμει δὲ ὂν τῇ πρὸς τὴν ἐνέργειαν τάξει μετέχει τῆς τιμιότητος. Ἀλλὰ λέγεταί τι ἀτελὲς τῇ πρὸς τὸ τιμιώτερον παραθέσει· τοῦ Θεοῦ δὲ οὐχ ἧττον διεστήκασι τὰ τιμιώτατα τῶν ὄντων ἢ τὰ ἔσχατα διεστήκασι τῶν ὑπὲρ αὐτά· καὶ εἰ ἐμποδὼν ἦν ἡ τοιαύτη διάστασις τῇ θείᾳ γνώσει, καὶ τὰ τοιαῦτα ἂν οὐκ ἐγινώσκετο, πολλῷ μᾶλλον τὰ τιμιώτερα, καὶ ὁ Θεὸς οὐδὲν ἂν ἐγίνωσκε πλὴν ἑαυτοῦ. | Εἰ τοίνυν τὸ παρ' ἑαυτὸν f. 31
τιμιώτατον γινώσκει, τῷ αὐτῷ λόγῳ καὶ τὰ ἄλλα γνώσεται, καθόσον ἂν ἔχῃ τὸ εὐτελές.

Ἔτι, τὸ ἀγαθὸν τῆς τοῦ ὅλου τάξεως τιμιώτερόν ἐστιν ἑκάστου μέρους τοῦ ὅλου, ὡς τὸ τέλος, τῶν πρὸς αὐτό· ἀλλ' ὁ Θεὸς γινώσκει τινὰ φύσιν τιμίαν· γνώσεται ἄρα μάλιστα καὶ τὴν τοῦ καθόλου τάξιν, ἣ συνίσταται ἐν ταῖς διαστάσεσι καὶ σχέσεσι τῶν τιμιωτέρων καὶ εὐτελεστέρων ἐν τῷ παντί.

Ἔτι, ἡ τῶν γινωσκομένων εὐτέλεια οὐκ ἐπανακάμπτει πρὸς τὸν γινώσκοντα καθ' αὑτήν· ὁ γὰρ γινώσκων τὰ εἴδη τῶν γνωστῶν, κατὰ τὸν ἑαυτοῦ περιέχει τρόπον· εἰ μὴ κατὰ συμβεβηκὸς καὶ ὅταν τὰ εὐτελῆ ἐπισκεπτόμενος τῶν τιμιωτέρων ἀφέλκηται, ἢ ἐκ τῆς τῶν εὐτελῶν ἐπισκέψεως ἀποκλίνῃ εἴς τινας οὐκ ὀφειλομένας ἐπιθυμίας, ἅπερ ἐν τῷ Θεῷ εἶναι οὐ δύνανται. Οὐκ ἄρα τὴν θείαν ἀξίαν ἡ γνῶσις βιάζεται τῶν εὐτελῶν, ἀλλὰ μᾶλλον τῇ θείᾳ προσήκει τελειότητι, καθόσον ἐν ἑαυτῇ πάντα περιέχει.

Ἔτι, οὐ νομίζεται δύναμίς τις μικρὰ τῷ ἐν μικροῖς δύνασθαι, ἀλλὰ τῷ ἐν μικροῖς ὁρίζεσθαι· ὁ δὲ Θεὸς μιᾷ καὶ τῇ αὐτῇ γνώσει ἑαυτὸν καὶ τὰ ἄλλα γινώσκει· οὐκ ἄρα εὐτελίσει τὴν σοφίαν αὐτοῦ ἡ γνῶσις τῶν εὐτελῶν.

Τούτῳ συνᾴδει καὶ τὸ ἐν τῇ Σοφίᾳ· „Ψαύει πανταχοῦ διὰ καθαρότητος καὶ οὐδὲν μεμολυσμένον αὐτῇ συναντᾷ".

---

**37 Sap. 7, 24, 25**

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

## LXXI. — Ὅτι γινώσκει τὰ κακά.

Τοῦ ἀγαθοῦ γνωσθέντος, γινώσκεται τὸ ἀντικείμενον αὐτῷ κακόν· ὁ δὲ Θεὸς οἶδε πάντα τὰ μερικὰ ἀγαθά, οἷς τὰ κακὰ ἀντίκειται.

Ἔτι, οἱ λόγοι τῶν ἐναντίων ἐν τῇ ψυχῇ οὐκ ἐναντίοι· οὕτως ὁ λόγος ᾧ γινώσκεται τὸ κακὸν οὐ μάχεται τῷ ἀγαθῷ, λυσιτελεῖ μὲν οὖν πρὸς τὸν τοῦ ἀγαθοῦ λόγον· ἀλλ' ἐν τῷ Θεῷ οἱ λόγοι πάντες εὑρίσκονται τοῦ ἀγαθοῦ, ἀπολελυμένως τελείῳ ὄντι· ὥστε καὶ ὁ λόγος ᾧ τὸ κακὸν γινώσκεται.

Ἔτι, τὸ ἀληθές, ἀγαθὸν τοῦ νοῦ· ἀληθὲς δέ, οὐ μόνον ὅτι τὸ ἀγαθὸν ἀγαθόν, ἀλλὰ καὶ ὅτι τὸ κακὸν κακόν ἐστιν, ὥσπερ ἀληθὲς εἶναί τε τὸ ὂν καὶ μὴ εἶναι τὸ μὴ ὄν· ὁ δὲ θεῖος νοῦς τέλειός ἐστι, καὶ οὐδεμιᾶς ἀγαθότητος ἐνδεής.

Ἔτι, ὁ Θεὸς γινώσκει τὴν διάκρισιν, οἶδε τὴν ἀπόφασιν, ἣ μάλιστα διακρίνει· ἡ δὲ στέρησις ἀπόφασίς ἐστιν ἐν ὡρισμένῳ ὑποκειμένῳ, τὸ δὲ κακὸν οὐδὲν ἄλλο ἢ τῆς ὀφειλομένης τελειότητος στέρησις.

Ἔτι, ὁ Θεὸς οὐ μόνον τὰ εἴδη γινώσκει, ἀλλὰ καὶ τὴν ὕλην· ἑαυτὴν
f. 31v δὲ ἡ δύναμις τῆς ὕλης ἐκτείνει καὶ πρὸς τὸ εἶδος καὶ πρὸς | τὴν στέρησιν· τὸ δὲ κακὸν στέρησίς τίς ἐστιν.

Ἔτι, ὁ Θεὸς γινώσκει τὴν τοῦ παντὸς τάξιν βελτίστην οὖσαν, ἐν ᾗ εἰσί τινὰ πρὸς τὸ ἀπαλλάττειν τῶν βλαβερῶν.

Ἔτι, ἐν ἡμῖν ἡ τῶν κακῶν γνῶσις οὔτε ψέγεται καὶ ἐπαινεῖται, εἰ μὴ κατὰ συμβεβηκός, ὅταν τις ἐντεῦθεν πρὸς τὰ πονηρὰ ἀποκλίνῃ, ὃ τῷ ἀμεταβλήτῳ οὐχ ἁρμόζει Θεῷ· οὐδὲν οὖν κωλύει τὸν Θεὸν τὰ κακὰ γινώσκειν.

Τούτῳ συνᾴδει τὸ ἐν τῇ Σοφίᾳ λεγόμενον, ὅτι „τὴν τοῦ Θεοῦ σοφίαν οὐ νικᾷ ἡ κακία“· καὶ ἐν ταῖς Παροιμίαις· „Ἅδης καὶ ἀπώλεια φανερὰ παρὰ τῷ Κυρίῳ“· „καὶ ἐν ψαλμοῖς· „Αἱ ἀνομίαι μου ἀπὸ σοῦ οὐκ ἀπεκρύβησαν“· καὶ ἐν τῷ Ἰώβ· „Αὐτὸς οἶδε τὴν τῶν ἀνθρώπων ματαιότητα, καὶ ὁ ὁρῶν τὴν ἀνομίαν οὐ κατανοεῖ“;

Ἰστέον δέ, ὅτι διὰ τῶν ἀγαθῶν γινώσκονται τὰ κακά, ὥσπερ τὰ πράγματα διὰ τῶν οἰκείων ὁρισμῶν, καὶ οὐχ ὡς τὰ συμπεράσματα διὰ τῶν ἀρχῶν, ἵνα ᾖ μεταβατικὴ ἡ τῶν κακῶν γνῶσις διὰ τῶν ἀγαθῶν· οὔτε μὴν ἀτέλειαν τῇ θείᾳ γνώσει προσάπτει τὸ τὰ κακὰ γινώσκειν τῇ στερήσει τῶν ἀγαθῶν, ἐπεὶ τὸ κακὸν οὔ φησιν εἶναι, εἰ μὴ καθόσον ἐστὶ στέρησις τοῦ ἀγαθοῦ· ὅθεν ταύτῃ μόνον ἐστὶ γνωστόν· ἕκαστον γάρ, καθόσον ἔχει τοῦ εἶναι, κατὰ τοσοῦτον ἔχει καὶ τοῦ γινώσκεσθαι.

---

25 Sap. 7, 30 26 Prov. 15, 11 27 Ps. 68, 6 28 Iob, 11, 11

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

## LXXII. — Ὅτι ὁ Θεός ἐστι θέλων.

Πάντα γὰρ τὰ αἰσθανόμενα καὶ νοοῦντα καὶ θέλουσι καὶ ἐφίενται· ἡ θέλησις μέντοι ἰδίως ἐστὶν ἐν τῷ νῷ· καὶ ὁ Θεός ἐστι νοῶν.

Ἔτι, τὸ νοεῖν τοῦ Θεοῦ, τελειότατον, καὶ διὰ τοῦτο ἥδιστον· ἡ δὲ νοητὴ ἡδονὴ τῇ θελήσει ἐστίν, ὥσπερ ἡ αἰσθητή, ἐπιθυμίᾳ καὶ ἐφέσει.

Ἔτι, τὸ εἶδος τὸ θεωρηθὲν ὑπὸ νοῦ οὐ κινεῖ εἰ μὴ μεσιτευούσης θελήσεως, ᾗ ἀντίκειται τὸ ἀγαθόν, ὑφ' οὗ πρὸς τὸ ποιεῖν τις κινεῖται· ἀλλὰ τὸ εἶδος τοῦ θείου νοῦ αἴτιόν ἐστι κινήσεως καὶ τοῦ εἶναι ἐν τοῖς ἄλλοις· δεῖ ἄρα αὐτὸν εἶναι καὶ θέλοντα· τῷ γὰρ πρώτῳ κινοῦντι ἁρμόζει μάλιστα θέλησιν ἔχειν.

Ἔτι, ἑκάστῳ ὄντι προσήκει τῆς ἰδίας ἐφίεσθαι τελειότητος καὶ κατὰ τὸν οἰκεῖον ἑκάστῳ τρόπον, τοῖς μὲν νοητοῖς κατὰ θέλησιν, τοῖς δὲ ζῴοις κατ' αἰσθητὴν ἔφεσιν· ἐπεὶ τοίνυν ὁ Θεός ἐστι νοῶν, ἔνεστι τούτῳ θέλησις· ἥτινι οὐκ ἐπιθυμεῖ τοῦ ἰδίου εἶναι καὶ τῆς ἰδίας ἀγαθότητος, ὡς τὰ μὴ ἔχοντα ἢ ἐνδέοντα, ἀλλ' ἀρέσκει αὐτῷ τὸ εἶναι καὶ ἡ ἰδία ἀγαθότης, καὶ ἠρεμεῖ ἐν αὐτοῖς.

Τούτῳ καὶ ἡ Γραφὴ μαρτυρεῖ· ἐν γὰρ ψαλμοῖς λέγεται· „Πάντα ὅσα ἠθέλησεν ὁ Κύριος ἐποίησεν“· καὶ ἐν τῇ πρὸς Ῥωμαίους· „Τῷ θελήματι αὐτοῦ τίς ἀνθέστηκε“;

## LXXIII. — Ὅτι ἡ θέλησις τοῦ Θεοῦ ἐστιν ἡ οὐσία αὐτοῦ.

Ὡς γάρ ἐστι νοῶν κατὰ τὴν ἰδίαν οὐσίαν, οὕτω καὶ θέλων· ἁρμόττει f. 32
γὰρ αὐτῷ θέλοντι εἶναι καθόσον ἐστὶ νοῶν.

Ἔτι, ὡς τὸ νοεῖν τελείωσις τοῦ νοοῦντος, οὕτω καὶ τὸ θέλειν τοῦ θέλοντος· ἀλλὰ τὸ νοεῖν τοῦ Θεοῦ ἐστι τὸ εἶναι αὐτοῦ· καὶ τὸ θεῖον ἄρα θέλειν ὁμοίως.

Ἔτι, εἰ ἡ θεία θέλησις ἦν τι προσκείμενον τῇ θείᾳ οὐσίᾳ, ἐπεὶ ἡ θεία οὐσία τελεία ἐστὶν ἐν τῷ εἶναι, εἵπετο ἂν τὴν θέλησιν ἐπεισελθεῖν ταύτῃ ὥσπερ ὑποκειμένῳ συμβεβηκός, καὶ τὴν θείαν οὐσίαν παραβάλλεσθαι αὐτῇ ὡς δύναμιν ἐνεργείᾳ, καὶ ἐν τῷ Θεῷ σύνθεσιν εἶναι.

## LXXIV. — Ὅτι τὸ πρώτως θελητὸν ὑπὸ τοῦ Θεοῦ, ἡ οὐσία αὐτοῦ.

Τὸ γὰρ νοητὸν ἀγαθὸν ἀντικείμενόν ἐστι τῇ νοερᾷ θελήσει· τὸ δὲ πρώτως τῷ Θεῷ νοούμενον, ἡ θεία οὐσία.

Ἔτι, εἰ ἄλλο τι ἦν Θεῷ θελητὸν πρὸ τῆς ἰδίας οὐσίας, ἦν ἂν ἐκεῖνο ἀνώτερον τῆς θείας θελήσεως, ὡς κινοῦν αὐτόν, καὶ οὕτω καὶ τῆς θείας οὐσίας ἀνώτερον.

---

9 *πρώτῳ*, peut être *πρώτως* A  17 Ps. 134, 6  18 Rom. 9, 19

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006